www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

# ΕΠΙ ΤΗ͂ ΜΕΤΑΚΟΜΙΔΗ͂ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ

# ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΣΟΦΙΑΣ,

# ΠΙΣΤΕΩΣ, ΕΛΠΙΔΟΣ & ΑΓΑΠΗΣ

# ΕΙΣ ΤΟΝ ΟΜΩΝΥΜΟΝ ΑΥΤΩΝ ΙΕΡΟΝ ΝΑΟΝ

# ΑΓΙΑΣ ΦΙΛΟΘΕΗΣ ΑΘΗΝΩΝ




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
προνοίᾳ τοῦ Παν/του Ἀρχιμανδρίτου π.Θεολόγου Ἀποστολίδη,
Ἀρχιγραμματέως τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

* 2000 *

www.tezaurliturgic.ro




**ΑΚΟΛΟΥΘΙΑ ΕΠΙ ΤΗ ΜΕΤΑΚΟΜΙΔΗ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΣΟΦΙΑΣ & ΤΩΝ ΘΥΓΑΤΕΡΩΝ ΑΥΤΗΣ**

* * *

**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

*῾Ιστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*
*῏Ηχος α´. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε πιστοὶ τὴν τετράδα,
ἀνευφημήσωμεν,
μητρὸς καὶ θυγατέρων,
διὰ πίστιν Τριάδος,
σοφῶς ἀρνησαμένων,
βίου τερπνά,
καὶ ἀγῶνα ἀθλήσεως,
ἐνεγκασῶν ἐν βασάνοις,
παντοδαποῖς,
καὶ ἀνδρείῳ τῷ φρονήματι.

᾿Αποδεχθεῖσα χηρείας,
σταυρὸν πανεύφημε,
Σοφία εἰς ἀγάπην,
τοῦ Κυρίου ἐδόθης,
ἐν πίστει καὶ ἐλπίδι,
κόρας τὰς τρεῖς,
εὐσεβῶς ἐγαλούχησας,
καὶ ἀρετῶν τῶν ἐνθέων,
τούτων ψυχάς,
ἐν τοῖς ἄνθεσιν ἐκόσμησας.

Διὰ τὴν θείαν ἀγάπην,
δεσμοὺς ἐνίκησαν,
τοὺς φυσικοὺς παρθένοι
καὶ ἡ τέξασα ταύτας,
διὸ πᾶσαι προθύμως,
στέφος λαμπρόν,

www.tezaurliturgic.ro

μαρτυρίου εἰλήφασι,
καὶ τῷ Κυρίῳ πρεσβεύουσιν ἐκτενῶς,
ὑπὲρ πάντων τῶν τιμώνωτων αὐτάς.

Ἐν τῇ μωρίᾳ Σοφία,
Σταυροῦ ἐνίκησας,
σοφίαν κενουμένην,
τοῦ παρόντος αἰῶνος,
καὶ χάριν εἰληφυῖα,
παρὰ Χριστοῦ,
Ἀβραὰμ ἄλλος γέγονας,
ὡς εὐωδίαν πανεύοσμον,
τέκνα σά,
ἀναθεῖσα τῷ Δεσπότῃ σου.

Ἐξ Ἰταλίας ἐλθοῦσαι,
Μάρτυρες ἔνδοξοι
διὰ σεπτῶν λειψάνων,
ἁγιάζετε πόλιν,
κλεινὴν τῶν Ἀθηναίων,
ἣν ἐκ δεινῶν,
καὶ κινδύνων φυλάττοιτε,
ὀρθοδοξοῦσαν καὶ μένουσαν εὐλαβῶς,
εἰς πατέρων τὴν εὐσέβειαν.

Τὴν ἀνεκφοίτητον χάριν,
Ἁγίου Πνεύματος,
ἐκ τῶν ὑμῶν λειψάνων,
οἱ πιστοὶ ἐξαντλοῦμεν,
καὶ δόξαν τῷ Κυρίῳ,
ἀπὸ ψυχῆς,
ἀναπέμπομεν ἅπαντες,
ὅτι ἐν ὕλῃ παρέχει διηνεκῶς,
χριστωνύμοις χάριν ἄϋλον.

*Δόξα. Ἦχος πλ.β΄.*

Τὴν φθειρομένην δόξαν τοῦ κόσμου συμφώνως καταλιποῦσαι,
Σοφία μῆτερ καλλίστη, σὺν Πίστει καὶ Ἐλπίδι τε καὶ Ἀγάπῃ,
ταῖς καλλιπαρθένοις θυγατράσι σου,
βασάνους ποικίλας καὶ σφοδρὰς ὑπενέγκατε,
καταγραφεῖσαι ἀπαραγράπτως εἰς βίβλον τῆς ζωῆς.
Ὅθεν σήμερον ἡ Ἁγία Φιλοθέη τὰ τίμια ὑμῶν λείψανα,

www.tezaurliturgic.ro

ὡς οὐρανόφοιτον δωρεὰν ἐξ Ἰταλίας δεχομένη,
ἁγιασμὸν προσπορίζεται εἰς αἰώνιον ζωήν,
τὸν στεφοδότην Κύριον πιστῶς δοξάζουσα.

*Καὶ νῦν. Θεοτοκίον τοῦ ἤχου ἢ τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ἀναγνώσματα.*

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α΄.*

Ἀγάπην τὴν πρὸς Χριστόν, ἧς ἐν κόσμῳ οὐδὲν ἶσον,
ὡς φιλόθεον προῖκα ταῖς ψυχαῖς τῶν θυγατέρων σου
σοφῶς ἐγκατασπείρασα, Σοφία μεγαλώνυμε,
ἔδειξας ταύτας ἰσοτίμους τῶν φρονίμων Παρθένων·
ὅθεν νῦν ἐν τῷ ἐπουρανίῳ Νυμφῶνι ὁμοῦ ἐπαγαλλόμεναι,
μνήσθητε Μάρτυρες δεόμεθα, τῶν ἐν τῇ πόλει ταύτῃ οἰκούντων,
καὶ πίστει προσκυνούντων,
τὰ θεομύριστα ὑμῶν λείψανα.

*Ἦχος β΄.*

Τὸ θεοπαράδοτον καὶ ἄμισον μῖσος,
πρὸς τὰ φθαρτὰ καὶ τρεπόμενα εὐαγγελικῶς κτησάμεναι,
Μήτηρ σεμνὴ σὺν ταῖς τρισὶν θυγατράσι σου,

σαρκὸς ὡραιότητα καὶ ἡδονὰς τὰς φθειρομένας παρίδετε,
γενόμεναι τίμια σφάγια διὰ τὸν ἐπιπόθητον Νυμφίον Χριστόν,
Ὃν ἐκτενῶς πρεσβεύσατε,
δωρήσασθαι καὶ ἡμῖν τὸ πῦρ τῆς θείας ἀγάπης,
ἀθλήτριαι θεοστεφάνωτοι.

*Ἦχος γ΄.*

Τὴν τρισαρετώνυμον καὶ παρθενομύριστον ἀδελφότητα,
σὺν τῇ σοφῇ μητρὶ αὐτῶν καὶ νυμφαγωγῷ εἰς Χριστὸν Σοφίᾳ,
ἄνθεσιν ᾀσμάτων θεαρέστων στεφανώσωμεν·
καὶ γὰρ ἔχουσιν ἐν εὐχαῖς τὸ εὐπάρεδρον,
ὡς τῷ Δεσπότῃ προσάξασαι ἑαυτάς,
θυσίαν ὁλοκαυτώσεως.

*Ἦχος δ΄.*

Ἐν σοφίᾳ συμπροκρίνασαι τὴν ζωοποιὸν τοῦ Κυρίου νέκρωσιν,
τὴν ἄσειστον ἐλπίδα εἰς πίστιν ἀκλινῆ μετεποιήσατε,
καὶ δι᾽ ἀγάπης θεοφλέκτου τὰ πάντα ὡς χοῦν λογισάμεναι,
διὰ μαρτυρικῶν βασάνων σύνοικοι ἐγένεσθε,
τῷ ποθουμένῳ καὶ ὑπερκάλλῳ Νυμφίῳ,
Ὃν ὡς φιλάδελφοι ἱκετεύετε δεόμεθα,
ὑπὲρ πάντων τῶν πιστῶς τιμώντων,
τὰ χαριτόβρυτα λείψανα ὑμῶν Μάρτυρες ἔνδοξοι.

*Δόξα. Ἦχος πλ.α΄.*

Δεῦτε πιστοὶ πόθῳ προσκυνήσωμεν,
τῆς τετραρίθμου καὶ χρισταθλητικῆς μητροτεκνίας,
τὰ τιμιώτατα καὶ ζωηφόρα λείψανα·
ταῦτα γὰρ διὰ τοῦ μαρτυρίου,
σκηνὴ Ἁγίου Πνεύματος γεγόνασι,
καὶ ἀειβλύτως παρέχουσι τὴν χάριν,
τὴν ἀνεκφοιτήτως ἁγιάζουσαν τοὺς πιστούς·
καὶ εὐγνωμόνως ἀνυμνήσωμεν τὸν Σωτῆρα,
τὸν ἐν ταῖς Ἁγίαις Αὐτοῦ ἐνδοξαζόμενον.

*Καὶ νῦν. Μακαρίζομέν σε ἢ τῆς Ἑορτῆς.*

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις ἡ τὴν σοφίαν Θεοῦ,
καθοδηγὸν ἐν τῷ σῷ βίῳ ποιήσασα,
Σοφία μάρτυς ἀνδρεία,
καὶ γυναικῶν χαρμονή,
ἡ κορῶν τριάδα ἀναθρέψασα,
τῆς πίστεως γάλακτι,
καὶ ἀγάπῃ τοῦ Κτίσαντος,
δι' ἣν ἐν ὥρᾳ,
τὰ τοῦ κόσμου ἠρνήθητε,
ὥσπερ σκύβαλα,
καὶ καλῶς ἠγωνίσθητε·
ὅθεν στεφθεῖσαι ἅπασαι,
ὡς μάρτυρες ἔνδοξοι,
διὰ παντὸς τὸν Δεσπότην,
ἐν παῤῥησίᾳ πρεσβεύετε,
ἐλπίδα ἀγάπην,
καὶ σοφίαν ἐν τῇ πίστει,
ἡμῖν δωρήσασθαι.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Χάρις ἡ τοῦ Θεοῦ σῇ ψυχῇ,
ἐνοικισθεῖσα καλλιμάρτυς ἀνέδειξε,
τῆς φύσεως ὑπεράνω,
θεσμῶν καὶ νόμων φθαρτῶν·
σὺ γὰρ ὦ Σοφία ὡς ἀσώματος,
βασάνους ἑώρακας,
θυγατέρων τιμίων σου,
καὶ παραινοῦσα,
τὴν ἀνδρείαν ἐχάλκευες,
ὅπως χαίρουσαι,
τὴν ὁδὸν ἐκτελέσωσιν·
ὅθεν νῦν παριστάμεναι,
Χριστοῦ κατενώπιον,
χεῖρας ὑψοῦτε ἀπαύστως,
ὑπὲρ ἡμῶν γενναιόταται,
καὶ πᾶσιν αἰτεῖσθε,
ἐν εἰρήνῃ τὴν ἀγάπην,
καὶ μέγα ἔλεος,

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ὅτε ἀνειληφὼς ὑλικήν,
σάρκα ὁ Λόγος τοῦ Θεοῦ ἐνηνθρώπησεν,
παρέδωκεν Ἐκκλησίᾳ,
ὑπογραμμὸν Ἑαυτόν,
ὕλην ἁγιάσας τὴν πρὶν ἄτιμον·
διὸ καὶ τὰ λείψανα,
τῶν Ἁγίων ἐκβλύζουσι,
κρουνοὺς χαρίτων,
καὶ πιστοὺς ἁγιάζουσιν.
Ὅθεν σήμερον,
προσκυνοῦμεν τὰς Μάρτυρας,
Πίστιν τὴν ἀκατάβλητον,
Ἀγάπην τὴν ἔνδοξον,
Ἐλπίδα κλέος μαρτύρων,
καὶ τὴν Σοφίαν τὴν πάντιμον,
αἰτούμενοι χάριν,
ἀντιδώρως εὐλαβείας,
καὶ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄.*

Τὴν τῆς χηρείας ζάλην ἀνδρικῶς παριδοῦσα,
γενναιοτάτη Σοφία μάρτυς Χριστοῦ,
ὅλῃ ψυχῇ καὶ δυνάμει τὰ σὰ θεοβλάστητα τέκνα ἐπαιδοτρόφησας,
θεοσόφως στερεώσασα ταῦτα εἰς τὸν ἔρωτα τοῦ Θεοῦ·
ὅθεν τῶν ἀστάτων τὰ μένοντα ἅπασαι προκρίνασαι,
καὶ τὴν εἰδωλικὴν σκοτόμαιναν μυκτηρίσασαι,
χαρμονικῶς ἐδέχθητε τῶν μαρτυρίων τὰς βασάνους,
ὡς ἀθάνατον δὲ προῖκα λαβοῦσαι τὴν ἄσειστον Σιών,
πρεσβεύετε διηνεκῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν ἀειμακάριστοι.

*Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός ἢ τῆς Ἑορτῆς*

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Σοφία πάνσεμνε,
Πίστις πανέντιμε,
Ἐλπὶς πανεύφημε,

www.tezaurliturgic.ro

Ἀγάπη πάνσεμνε,
μήτηρ καὶ κόραι θαυμασταί,
Μαρτύρων καλλωπίσματα,
πάντας τοὺς γεραίροντας,
τὴν τερπνὴν ὑμῶν ἄθλησιν,
καὶ τιμῶντας λείψανα,
οὐρανόθεν στηρίζετε,
καὶ δότε τὴν Χριστοῦ Βασιλείαν,
ἡμῖν ὡς κλῆρον ἐπιπόθητον.

*καὶ τῆς Ἑορτῆς*

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Εἰς τὴν α´ στιχολογίαν.*
*Κάθισμα. Ἦχος α´. Τὸν τάφον σου, Σωτὴρ.*

Ἀγάπην τοῦ Θεοῦ,
ὑπὲρ πάντα τιθεῖσα,
Σοφία κόρας σάς
ἐξεπαίδευσας ὅπως,
μηδὲν προτιμήσωσι
τοῦ Χριστοῦ ἀλλὰ θύσωσι,
τὰς ψυχὰς αὐτῶν,
ὡς προσφορὰν εὐωδίας,
καὶ τὸν στέφανον
τοῦ μαρτυρίου ἐκ Τούτου,
ἀντίδωρον λάβωσι.

*Δόξα. Καὶ νῦν, τῆς Ἑορτῆς*

Ὁ μέγας ὑετός,
πρὸς ποτάμια ῥεῖθρα,
προέρχεται σαρκί,
βαπτισθῆναι θελήσας,
πρὸς Ὃν ὁ θεῖος Πρόδρομος,
ἐκθαμβούμενος ἔλεγε·
Πῶς βαπτίσω σε,
ῥύπον μὴ ἔχοντα ὅλως;
πῶς ἐκτείνω μου,
τὴν δεξιὰν ἐπὶ κάραν,
ἣν τρέμει τὰ σύμπαντα;

*Εἰς τὴν β´ στιχολογίαν.*
*Κάθισμα. Ἦχος γ´. Τὴν ὡραιότητα*

Ἁγναὶ νεάνιδες,
ὄφιν ἐπάτησαν,
καὶ ἐμυκτήρισαν

πλάνην τὴν δύσθεον,
ὅθεν βασάνων ἀλγεινοῖς,
ἐξέπληξαν τοὺς ἀγγέλους·
νῦν δὲ ἀπολαύουσαι,
ὧν τὸ πρῴην ἐπήλπιζον,
χάριν τὴν οὐράνιον,
τοῖς τιμῶσι τὰ λείψανα,
παρέχουσιν Ἀγάπη καὶ Πίστις,
σὺν τῇ Ἐλπίδι αἱ αὐτάδελφοι.

*Δόξα. Καὶ νῦν, τῆς Ἑορτῆς*

Ἐπιφανέντος σου,
ἐν Ἰορδάνῃ Σωτήρ,
καὶ βαπτισθέντος σου,
ὑπὸ Προδρόμου Χριστέ,
ἠγαπημένος Υἱὸς ἐμαρτυρήθης·
ὅθεν καὶ συνάναρχος,
τῷ Πατρὶ πεφανέρωσαι,
Πνεῦμα δὲ τὸ Ἅγιον,
ἐπὶ σὲ κατεγίνετο,
ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν·
Δόξα Θεῷ τῷ ἐν Τριάδι.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὴν Σοφίαν καὶ Λόγον θεοπρεπῶς,
ἐκολπώσω Σοφία ἐν σῇ ψυχῇ,
ὅθεν πῦρ οὐράνιον
δεξαμένη κατέκαυσας,
πᾶν γεῶδες καὶ ὅλη ἀγάπῃ πεφλόγισαι,
διὸ πλάνην εἰδώλων
σοφῶς κατεπάτησας·
ὅθεν σὺν ταῖς Κόραις,
μαρτυρίῳ εἰσῆλθες,
πικρῷ ἐκνικήσασαι
τῶν δαιμόνων τὰς φάλαγγας,
καὶ τὸ στέφος εἰλήφατε,
διὸ καὶ τοῖς λειψάνοις ὑμῶν,
θεία Χάρις Μάρτυς ἐγκατῴκισεν,
ἧς μετέχοντες πάντες,
Χριστὸν μεγαλύνομεν.

*Δόξα. Καὶ νῦν, τῆς Ἑορτῆς ὅμοιον.*

Ἰορδάνης τῷ ῥείθρῳ καθυπουργεῖ,
Ἰωάννης ἐκτείνει χεῖρα φθαρτήν,
φανέντος σου ἀόρατε,
ἐν σαρκὶ πρὸς τὸ βάπτισμα·
ἀλλ' ὁ μὲν ἐστρέφετο,
ὀπίσω φοβούμενος,
ὁ δὲ αὖθις ἔσχεν,
ἐν τρόμῳ τὸν ἄφθαρτον·
ὄντως θαῦμα μέγαπ
ἡ πηγὴ ζωαρχίας,
πηγάς καὶ θαλάσσας τε,
σὺν ἀνθρώποις ἡγίασας·
ἡ Τριὰς γὰρ ἐπέλαμψεν.
Ἄνωθεν Υἱὸν ὁ Πατήρ,
ὀνομάζει σὲ καὶ Πνεῦμα Ἅγιον,
συγκατέρχεται Λόγε,
δηλοῦν τὸ ἰσόθεον.

*Οἱ Ἀναβαθμοί· τοῦ ἤχου ἐὰν τύχῃ Κυριακή,*
*ἄλλως τὸ α´ ἀντίφωνον τοῦ δ´ ἤχου. Ἐκ νεότητος μου.*
*Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*
*Στίχος· Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, ἐν Κυριακῇ τὸ Ἑωθινόν, ἄλλως τὸ τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων· *( Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοί...)*
Ὁ Ν´. Ἐλέησόν με ὁ Θεός....

Δόξα. Ταῖς τῶν Ἀθληφόρων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός....*
Τῆς Ἐκκλησίας κοινὸν θησαύρισμα ἐγένου καλλιμάρτυς Σοφία,
σὺν τῇ ἀξιοθέῳ τριάδι τῶν παρθενομαρτύρων θυγατέρων σου·
ὅθεν σήμερον ἐξ Ἰταλίας,
τῶν τιμίων λειψάνων τὴν θήκην ὑποδεχόμενοι,
δοξάζομεν τὸν ὑμᾶς δοξάσαντα Κύριον,
καὶ αἰτούμεθα διηνεκῶς τὰς πρεσβείας ὑμῶν,

ὅπως εὕρωμεν ἔλεος.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.*

*Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:*
**" Σοφίας τριῶν τε παρθένων ὁ ὕμνος οὗτος. Ἀ(θανάσιος)".**

*Ὠδὴ α´. Ἦχος πλ.δ´. Ἁρματηλάτην φαραώ.*

Σιώπα φύσις, λογικὴ πεφίμωσο,
γλῶσσα βροτῶν ÷ˇὠδική,
ὡς μὴ ἐξαρκοῦσα,
παῦσον ῥητορείαν σου·
Σοφίας γὰρ τὰ σκάμματα,
καὶ τριῶν θυγατέρων,
τοὺς φυσικοὺς ὑπερέβησαν,
νόμους καταπλήττοντα ἅπαντας.

Οὐ γυναικῶν τὸ ἀσθενὲς ἠλάττωσε,
οὐδὲ στοργὴ γονική,
τὸ πρὸς τὸν Δεσπότην,
φίλτρον σου πανεύφημε,
ἀλλὰ Σοφία ἔνδοξε,
τῶν βλαστῶν σου τὰ ἆθλα,
καρτερικῶς καθυπέμεινας,
δόξαν ἐσομένην προβλέπουσα.

Φόβον Σοφία ἐκ ψυχῆς ἀπέβαλες,
καὶ μόνον φόβον Θεοῦ,
ἐν ψυχῇ σου σχοῦσα,
ἀπειλὰς οὐκ ἔπτηξας,
τῶν ἀσεβούντων ἔνδοξε,
ἀλλὰ πλάνην εἰδώλων,
ἅμα σαῖς κόραις ἀπήλεγξας,
χρισταθλητικῶς ἀριστεύσασαι.

*Θεοτοκίον*

Ἵνα ποιήσῃ τὸν πεσόντα ἄνθρωπον,
Θεὸν ὁ Λόγος Θεοῦ,
μήτραν Θεοτόκε,
σὴν ἁγνῶς κατῴκησε,
καὶ φιλανθρώπως ἤγειρε,
ἅπαν γένος ἐκ πλάνης,

τοῦ διαβόλου καὶ ἔσωσε,
πάντας τοὺς πιστοὺς θείῳ Αἵματι.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀχαλίνωτα πάθη,
τὰ τῆς ψυχῆς ἔσβησας,
καὶ ἁγνοπρεπῶς τὸν σὸν βίον,
Σοφία ἤνυσας·
ὅθεν κειμήλια,
ἁγνοπρεποῦς πολιτείας,
θυγατέρας ἔδειξας,
τὰς τρεῖς σου ἔνδοξε.

Σαῖς σοφαῖς ὑποθήκαις,
καὶ ἱεραῖς ρήσεσι,
τῶν σῶν βλαστημάτων καρδίας,
ἐπαιδαγώγησας,
πρὸς τὴν τοῦ Πλάσαντος,
μέχρι θανάτου ἀγάπην,
καὶ τὴν περιφρόνησιν,
προσκαίρων τέρψεων.

Τῇ Τριάδι ἀνέθου,
σὰ ἱερὰ ἔκγονα,
ἅπερ θυγατέρας ἀνδρείας
Σοφία ἔδειξας·
ὅθεν πρὸς σκάμματα,
ἀθλητικὰ εἰσελθοῦσαι,
τὸν ἐχθρὸν ἐνίκησαν,
σύντρεις αἱ πάντιμοι.

*Θεοτοκίον*

Ῥυπαρῶν ἐννοιῶν με,
καὶ λογισμῶν Δέσποινα,
τῶν καταχραινόντων ψυχῆς μου,
τὴν καθαρότητα,
πόῤῥω ἐκδίωξον,
καὶ μνήμην δίδου Υἱοῦ σου,
τὴν καθαγιάζουσαν,
ὅλην μου ὕπαρξιν.

*Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.*

Μητρικαῖς ὑποθήκαις καθυπακούουσαι,
καὶ τῇ θείᾳ δυνάμει ἐνισχυόμεναι,
αἱ παρθένοι ἀδελφαὶ ἐχθρὸν ἐνίκησαν,
καὶ γεγόνασι πιστῶν καταφύγιον τερπνόν,
καὶ χάριν ἐκ τῶν λειψάνων,
αὐτῶν ἐκβλύζουσι πᾶσι,
τοῖς προσιοῦσι μετὰ πίστεως.

*Δόξα. Καὶ νῦν. Ὅμοιον, τῆς Ἑορτῆς*

Ἰορδάνου τὸ ῥεῖθρον περιβαλλόμενος,
ὁ τὸ φῶς παραδόξως ἀναβαλλόμενος,
ἐν αὐτῷ τὴν τοῦ Ἀδὰμ φύσιν ἀνέπλασας,
συντριβεῖσαν πονηρᾷ,
παρακοῇ Λόγε Θεοῦ·
διό σε ἀνευφημοῦμεν,
καὶ τὴν ἁγίαν σου πάντες,
δοξολογοῦμεν Ἐπιφάνειαν.

*Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Ἵνα δειχθῇ ἔρως σου,
Μάρτυς πρὸς Κύριον,
θείαν χάριν,
ἄνωθεν ἀπείληφας
καὶ ὡς οὐδέν,
δέδεξαι πολλά,
βάσανα ὦ Πίστις,
καὶ τοῖς δημίοις ἐκραύγαζες·
σπαράττετε τὴν σάρκα,
τὴν ψυχὴν ὅμως γνῶτε,
οὐ δυνήσεσθε βλάψαι ταλαίπωροι.

Ὡς νυμφικὸς θάλαμος,
Ἐλπὶς ἐφαίνετο,
μαρτυρίων,
τόπος καὶ ἀνάπαυσις,
δεινοὶ ξεσμοί,
ἁπαλῆς σαρκός·
ἔχουσα γὰρ ἔνδον,
τὸ θεῖον πῦρ ἐνισχύον σε,
ὡς ὄβρυζον χρυσίον,
ἀπεφάνθης Κυρίῳ,

συγκλεισθεῖσα Αὐτοῦ εἰς τὰ δώματα.

Νεανικὸν πέφυκεν,
'Αγάπη σῶμά σου,
ἀλλ' ὁ νοῦς σου,
ὤφθη ἀνδρικώτατος,
ὅθεν σοφῶς,
τοῖς βασανισταῖς,
ἀπεκρίνου μάρτυς·
ἐκ τῆς ἀγάπης Κυρίου μου,
οὐ βάθος οὐδὲ ὕψος,
οὔτε ἄλλη τις κτίσις,
δυνηθῇ με χωρίσαι οὐδέποτε.

*Θεοτοκίον*

Τυραννικόν εἴρηται,
χρῆμα Πανάχραντε,
ἡ ἀγάπη,
πρὸς τὸν Θεῖον Τόκον σου,
ἥν περ κἀμοί,
δός μοι δυσωπῶ,
ὅτι οὐ βαστάζω,
ζυγὸν παθῶν τὸν δυσφόρητον,
καὶ δεῖξον θεῖον θῦμα,
ὅπως ζήσω Παρθένε,
εἰς αἰῶνας Χριστῷ συναπτόμενος.

*'Ωδὴ ε΄. 'Ινατί με ἀπώσω.*

'Εμπλησθεῖσα σοφίας,
Πνεύματος ἁγίου καρτερῶς ἀνθέστηκας,
τοῖς ἐπαπειλοῦσιν,
καὶ πρὸς σέβας εἰδώλων ὠθοῦσί σε·
ὅθεν ὥσπερ κόνιν,
τούτων διέλυσας Σοφία,
τὰ σαθρὰ καὶ ἀνόητα δόγματα.
Πτερουμένη τῇ πίστει,
ἔδραμες παρθένε πρὸς βασανιστήρια,
καὶ ὡς ὄντα εἶχες,
ἃ Χριστὸς τοῖς πιστοῖς καθυπέσχετο,
ἐν τῇ Βασιλείᾳ,
τῶν οὐρανῶν Πίστις τιμία,
διὸ ἤνεγκας πάντα τὰ δύσοιστα.

www.tezaurliturgic.ro

Ἀσεβείας τὴν ζάλην,
ἤλεγξας γενναίως ὡς θεολογήσασα,
σάρκωσιν Δεσπότου,
πρὸ κριτῶν ἀδικίας πανεύφημε,
θείᾳ δὲ ἐλπίδι,
βασιζομένη Ἐλπὶς μόνῃ,
εἰς Κυρίου εἰσῆλθες τὰ δώματα.

*Θεοτοκίον*

Ῥῦσαι πάσης Παρθένε,
δούλους σου δουλώσεως τοῦ πολεμήτορος,
ἡ ἐλευθερίαν,
παρασχόντα Χριστὸν τιθηνήσασα,
καὶ ζυγὸν τὸν τούτου,
ἐπίθες πᾶσι τοῖς τιμῶσι,
τὴν μεγάλην σου δόξαν Πανένδοξε.

*Ὠδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Θρόνον Θεοῦ μυστικόν,
ποιήσασα τὴν καρδίαν σου,
Ἀγάπη κόσμου τερπνά,
σοφῶς κατεφρόνησας,
καὶ φρικταῖς κολάσεσι,
καθυποβληθεῖσα,
ἐν ζωῆς βίβλῳ ἐγγέγραψαι.

Ἐμμένουσαι ἀκλινῶς,
ταῖς μητρικαῖς παραδόσεσι,
τρεῖς κόραι παρθενικαί,
τὴν πλάνην κατέπτυσαν,
καὶ Χριστῷ συνήφθησαν,
μυστικῷ Νυμφίῳ,
παρ᾽ Οὗ δόξῃ ἐστεφάνωνται.

Νικᾶται καὶ μητρική,
στοργὴ ἀγάπῃ πρὸς Κύριον,
ὡς ἔδειξεν ἡ σεμνή,
Σοφία καλλίμαρτυς·
καὶ γὰρ ὥσπερ θύματα,
τῷ Χριστῷ προσῆξεν,
θεῖα ταύτης ἐκβλαστήματα.

*Θεοτοκίον*

Ὡμοίωμαι τοῖς τυφλοῖς,
καὶ οὐ γινώσκω τὰς πράξεις μου,
διὸ καὶ πρὸς τὸν κρημνόν,
ἀπωλείας φέρομαι·
δέομαί σου Δέσποινα,
φώτισον τὸ σκότος,
τὸ καλύπτον τὴν καρδίαν μου.

***Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.***

Ταῖς τοῦ Κυρίου ἐντολαῖς πειθαρχοῦσαι,
καὶ μυκτηρίσασαι εἰδώλων τὴν πλάνην,
ὡς θύματα ἐτύθητε Μάρτυρες λογικά·
ὅθεν κατεστέφθητε,
ἐκ χειρὸς τοῦ Δεσπότου,
βλύζουσαι ἰάματα,
ἐκ σοροῦ τῶν λειψάνων,
ἃ προσκυνοῦντες σήμερον πιστῶς,
τὸν στεφοδότην,
μεγάλως δοξάζομεν.

***Ὁ Οἶκος***

Εὐσεβείᾳ ἐκθρέψασα ἣ τῷ γάλακτι,
θυγατέρας Σοφία ἀθλητομῆτορ,
σύντρεις συνῆψας ὡς νυμφαγωγός,
τῷ Δεσπότῃ Χριστῷ ὑποθήκαις σου·
αἳ τῶν εἰδώλων σοφῶς ἐλέγξασαι τὸ ἄθεον,
καὶ ῥωσθεῖσαι δυνάμει τοῦ Πνεύματος,
τῶν ἀγγέλων τὰς τάξεις κατέπληξαν,
ὑπὲρ φύσιν ἀνδρικῶς ἀθλήσασαι
καὶ παρὰ τοῦ δικαίου Ἀγωνοθέτου στεφθεῖσαι.
Ὅθεν σήμερον οἱ πιστοὶ ὑπερχαίρομεν,
εἰς τὸν οἶκον τοῦτον τὸν ἱεροκάλλιστον,
ὑπὲρ χρυσίον καὶ ἄργυρον ὑποδεχόμενοι,
καὶ ἀσπαζόμενοι τὰ παντίμια λείψανα ὑμῶν,
τὸν στεφοδότην μεγάλως δοξάζομεν.

***Τὸ Συναξάριον***

**Τῇ ιγ΄τοῦ μηνὸς Ἰανουαρίου τὴν ἐξ Ἰταλίας μετακομιδὴν ὡς καὶ τὴν κατάθεσιν τῶν τιμίων λειψάνων τῶν ἁγίων καὶ καλλινίκων παρθενομαρτύρων Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης καὶ τῆς μητρὸς αὐτῶν Σοφίας, εἰς τὸν περικαλλῆ καὶ ὁμώνυμον τούτων ἱερὸν ναὸν ἐν Ἁγίᾳ Φιλοθέῃ Ἀθηνῶν, πανηγυρικῶς ἑορτάζομεν.**

***Στίχοι***

Λείψανα Μητρὸς καὶ τριῶν θυγατέρων,
Δέχου εὐλαβῶς Ἁγία Φιλοθέη.
Δεκάτῃ τε τρίτῃ δέξαντ' Ἀθῆναι Μαρτύρων ὀστᾶ.

*Ὑπόμνημα*

*Χάριτι Θεοῦ, συνέδραμεν τὴν σήμερον ἡμέραν ἡ χαρμόσυνος καὶ ψυχωφελὴς ἐξ Ἰταλίας μετακομιδὴ τμημάτων ἐκ τῶν τιμίων λειψάνων τῆς ἀθλητομήτορος ἁγίας Σοφίας καὶ τῶν τριῶν καλλιπαρθένων θυγατέρων αὐτῆς Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης, εἰς τὸν πάνσεπτον καὶ ὁμώνυμον τούτων ναὸν ἐν Ἁγίᾳ Φιλοθέῃ Ἀθηνῶν, εἰς διηνεκῆ ἁγιασμὸν τῶν εὐλαβῶν ἐνοριτῶν καὶ προσκυνητῶν, συντονίᾳ μὲν φιλαγίῳ τοῦ ἐν αὐτῷ προϊσταμένου παν/του ἀρχιμανδρίτου κ.Θεολόγου τοῦ Ἀποστολίδη, Ἀρχιγραμματέως τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας της Ἑλλάδος καὶ τῶν ἐντιμοτάτων συνεργατῶν αὐτοῦ τῶν εὐλαβεστάτων μελῶν τοῦ Ἐκκλησιαστικοῦ Συμβουλίου, ἀρχιεπισκοπεύοντος δὲ τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ.κ.Χριστοδούλου, τοῦ ἀπὸ Δημητριάδος. Ὅθεν καὶ εἰς διηνεκῆ μνήμην τοῦ ἱστορικοῦ τούτου γεγονότος καθιερώθη ἡ ἱερὰ αὕτη καὶ ἑόρτιος Σύναξις.*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας*

***Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.***

*Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.*

Νίκην ἐνίκησας ἀρίστην,
καὶ συνήνωσαι,
χορῷ καλλιπαρθένων,

Πίστις κόρη ἁγνή,
καὶ εἴληφας τὸ στέφος,
τῆς σταθερᾶς σου πίστεως,
πρὸς Νυμφίον τῆς ψυχῆς σου.

Ὅλη ἠλλοίωσαι ἐλπίδι,
τῶν μελλόντων σοι,
Ἐλπὶς παρὰ Κυρίου·
διὸ πόθῳ πολλῷ,
εἰσῆλθες εἰς τὸ σκάμμα,
καὶ διὰ τῶν αἱμάτων σου,
ἐξωνήσω Βασιλείαν.

Ὕψωσας ἄνω τὴν καρδίαν,
παραβλέψασα,
τὰς ἡδονὰς τοῦ βίου,
καὶ πυρὶ θεϊκῷ,
φλεχθεῖσα ὦ Ἀγάπη,
συνήφθης ὡς ἐπόθησας,
καλλιπάρθενε Δεσπότῃ.

*Θεοτοκίον*

Μάνα ἐκβλύζεις Θεοτόκε,
τὸ οὐράνιον,
καὶ τὰς ψυχὰς ἐκτρέφον,
Ἰησοῦν τὸν Χριστόν,
Ὃν πάντοτε παράσχου,
ὡς θησαυρὸν ἀνέκλειπτον,
τοῖς δοξάζουσί σε πόθῳ.

*Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

Νοῦν Κυρίου σοφαῖς διδασκαλίαις,
ἐνεφύσησας,
Σοφία ταῖς σαῖς κόραις,
καὶ μαρτύρων ὁδόν,
ὑπέδειξας ὑψίστην,
δι᾽ ἧς συνηγωνίσθητε,
καὶ χαρᾶς νῦν ἐντρυφᾶτε.

Οὐρανίοις σκηνώσασαι θαλάμοις,
ἀθλητώνυμοι,
Μῆτερ σὺν θυγατράσιν,

www.tezaurliturgic.ro

Ἰησοῦν τὸν γλυκύν,
ὁρῶσαι τὰς χορείας,
τιμώντων ὑμῶν ἄθλησιν,
εὐλογεῖτε πολυτρόπως.

Στύλος ὤφθης Σοφία καρτερίας,
καὶ ὑπόδειγμα,
καλῆς τεκνοτροφίας·
ὅθεν δίδου ἡμῖν,
ὅσοι τεκνοτροφοῦμεν,
σοφίαν χριστοχάριστον,
καὶ διάκρισιν ἐν πᾶσι.

*Θεοτοκίον*

Οὐχ ὑπάρχει ἐν ἄλλῳ σωτηρία,
Παναμώμητε,
τοῖς ταπεινοῖς σου δούλοις,
εἰ μὴ δῴης τὴν σήν,
βοήθειαν καὶ χάριν,
κατ' ἄκραν συγκατάβασιν,
καὶ πολλὴν φιλανθρωπίαν.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὑπέστης τὸ μαρτύριον πολλαπλοῦν,
ὦ Σοφία ὁρῶν θυγατέρων σου,
βασανισμούς,
ἀλλὰ ἀποβλέπουσα σταθερῶς,
εἰς βασιλείαν μέλλουσαν,
ἔχαιρες ὡς Παῦλος κακοπαθῶν,
διὸ καὶ κατεστέφθης,
βραβείοις τοῖς ἀφθάρτοις,
ταῖς γυναιξὶν σέβας διδάσκουσα.

Τριάδα ἐδοξάσατε τὴν σεπτήν,
σὺν τῇ Πίστει Ἐλπὶς καὶ Ἀγάπη τε,
καρτερικῶς,
ἆθλα ὑποστᾶσαι μαρτυρικά,
καὶ νύμφαι ἐγεγόνατε,
τοῦ Χριστοῦ ἐν αἵμασι τοῖς ἁγνοῖς,
βάψασαι τοὺς χιτῶνας,
ψυχῶν ὑμῶν πανάγνων,
διὸ ἐν ὕμνοις μεγαλύνεσθε.

www.tezaurliturgic.ro

Ὁ τόπος ἔνθα Μάρτυς ἐγκατοικεῖ,
οὐρανὸς θείου Πνεύματος δείκνυται,
καὶ χορηγός,
θείων χαρισμάτων καὶ δωρεῶν·
πόσον δὲ ὧδε πλείονα,
ἔχει χάριν οὗτος ὁ ἱερός,
ναὸς λείψανα θεῖα,
φυλάσσων τῆς Σοφίας,
καὶ θυγατέρων πανσεβάσμια.

Σοφία καὶ Ἀγάπη Πίστις Ἐλπίς,
γυναικῶν ἀθλητῶν τὸ καλλώπισμα,
οἶκον ὑμῶν,
τὸν ὑποδεξάμενον ἐν χαρᾷ,
λειψάνων θήκην σήμερον,
κολυμβήθραν δείξατε Σιλωάμ,
καὶ πόλιν Φιλοθέης,
ὑμῶν θείαις πρεσβείαις
παντὸς κινδύνου προστατεύετε.

*Θεοτοκίον*

Ἀνήγαγες ἐκ πτώσεως καὶ φθορᾶς,
τὸ ἀνθρώπινον γένος Πανάχραντε,
ὅθεν ἡμῶν,
δέχου τὴν εὐγνώμονα ὀφειλήν·
σὺ γὰρ Θεῷ ἐδάνεισας,
χρηστικῶς τοὺς κόλπους σου τοὺς ἁγνούς,
καὶ κλῖμαξ ἀπεφάνθης,
ἀνάγουσα εἰς ὕψος,
τῆς Βασιλείας τοὺς ὑμνοῦντάς σε.

***Ἐξαποστειλάριον***

*Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Σοφία μάρτυς ἔνδοξε,
Πίστις Ἐλπὶς Ἀγάπη,
θύματα ἐθελόθυτα,
τῆς Κυρίου ἀγάπης,
λαβοῦσαι χάριν πλουσίαν,
θαυμασίων ποικίλων,
ὑμῶν τὰ θεῖα λείψανα,

εὐλαβῶς προσκυνοῦντας,
διὰ παντός,
σκέπετε κινδύνων καὶ πάσης βλάβης,
δωρούμεναι τὴν μέθεξιν,
οὐρανῶν Βασιλείας.

*καὶ τὸ τῆς Ἑορτῆς*

Ἐπεφάνη ὁ Σωτήρ,
ἡ Χάρις ἡ Ἀλήθεια,
ἐν ῥείθροις τοῦ Ἰορδάνου,
καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ,
καθεύδοντας ἐφώτισε·
καὶ γὰρ ἦλθεν ἐφάνη,
τὸ φῶς τὸ ἀπρόσιτον.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.δ΄. Ὢπ τοῦ παραδόξου θαύματος.*

Χαίροις Σοφία καλλίτεκνε,
ἀθλητομῆτορ κλεινή,
σὺ γὰρ πόθῳ Δεσπότου σου,
μητρικὴν παρέβλεψας,
καὶ φροντίδα καὶ μέριμναν,
ὥσπερ θυσίαν ὁλοκαυτώσεως,
προσενεγκοῦσα τὰς θυγατέρας σου,
αἵτινες καθυπέταξαν,
τὸν ἐχθρὸν ὡς νήπιον,
καὶ νῦν Χριστῷ,
παρεστῶσαι εὔχονται,
ὑπὲρ ἡμῶν ἐσαεί.

Τέρπου Ἐλπὶς χριστοπόθητε,
σκίρτα Ἀγάπη σεμνή,
Πίστις θεία συγχόρευε,
σύντρεις ἀπολαύουσαι,
ὧν σφοδρῶς ἐποθήσατε,
καὶ δι᾽ αἱμάτων,
ἐξηγοράσατε,
Σοφίαν σχοῦσαι,
ἀθλητομήτορα·
καὶ πάντων μνήσθητε,

τῶν τιμώντων λείψανα θεῖα ὑμῶν,
χάριν ἐξαιτούμεναι,
ἐκ τοῦ Παντάνακτος.

Τῇ παρθενίᾳ συμμείξασαι,
τοὺς τῶν αἱμάτων κρουνούς,
εὐφυῶς ἠγοράσατε,
μαργαρίτην τίμιον,
καὶ Σιὼν τὴν οὐράνιον,
σὺν ταῖς χορείαις Μαρτύρων εὕρατε,
ἔνθα Κυρίῳ καθικετεύετε,
ὅπως ἀδάπανον,
χορηγήσῃ ἄνωθεν Χάριν αὐτοῦ,
πόθῳ τοῖς προσψαύουσι,
θήκην λειψάνων ὑμῶν.

Σήμερον τερπνὴ συνάντησιςπ
ἡ Φιλοθέη χαρᾷ,
ὑποδέχεται λείψανα,
πόῤῥωθεν ἐρχόμενα,
καὶ πιστοὺς ἁγιάζοντα·
ἡ γὰρ Σοφία καὶ κόραι τίμιαι,
ἐξ Ἰταλίας ὧδε ἐσκήνωσαν·
δεῦτε φιλάγιοι,
Χάριν ἀρυσώμεθα καὶ τὸν Χριστόν,
πόθῳ μεγαλύνωμεν,
λέγοντες· δόξα σοιπ
*Δόξα. Ἦχος πλ.δ΄.*

Ὡς ψαλμικαὶ τρυγόνες εὕρατε καταφυγὴν πετασθεῖσαι,
εἰς τὰ πεποθημένα σκηνώματα τοῦ Κυρίου θεομακάριστοι·
ἅπερ γὰρ ἐκ βρεφῶν ὑπὸ τῆς μητρὸς Σοφίας εὐσεβῶς ἐδιδάχθητε,
ἔργον σύμφωνον ἐποιήσατε ἀθλήσασαι σύντρεις,
Πίστις Ἐλπίς τε καὶ Ἀγάπῃ.
Ὅθεν τὴν Χάριν τοῦ ἁγίου Πνεύματος,
τὴν ἐνοικοῦσαν ἀνεκφοιτήτως τοῖς λειψάνοις ὑμῶν,
πλουσιοδώρως παρέχετε ἅπασι, τοῖς προστρέχουσιν τῷ θείῳ τούτῳ ναῷ,
καλλίνικοι παρθενομάρτυρες.

*Καὶ νῦν. Ὑπερευλογημένη, ἐὰν τύχῃ Κυριακή· ἄλλως τῆς Ἑορτῆς.*
*Δοξολογία μεγάλη κτλ. ὡς εἴθισται.*

www.tezaurliturgic.ro

*Μεγαλυνάριον*

Πίστιν χορηγήσατε ἀκλινῆ, ἀσφαλῆ ἐλπίδα, καὶ ἀγάπην θεοπρεπῆ, πᾶσι τοῖς τιμῶσιν, ὑμῶν θήκην λειψάνων, Σοφίας θυγατέρες, παρθενομάρτυρες.

*Στίχοι*

Πίστιν, ἐλπίδα, ἀγάπην ἡμῖν δίδου,
Ἡ σοφιότεκνος τριὰς τῶν Μαρτύρων.

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω τῇ 27. 11. 2000.